ἀπὸ λα΄ παραλληλογράμμου ἥμισυ τὸ ΑΒΓ τρίγωνον· ἡ γὰρ ΑΒ διά-
μετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ ΔΒΓΖ παραλληλογράμ-
μου ἥμισυ τὸ ΔΒΓ τρίγωνον· ἡ γὰρ ΔΓ διάμετρος αὐτὸ
δίχα τέμνει· τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν·
ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ·
τὰ ἄρα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ
ἐν ταῖς αὐταῖς παραλλήλοις· ἴσα ἀλλήλοις ἐστίν· ὅ-
περ ἔδει δεῖξαι :-

λη΄
Τὰ τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς
παραλλήλοις· ἴσα ἀλλήλοις ἐστίν· ἔστω τρίγωνα τὰ
ΑΒΓ ΔΕΖ ἐπὶ ἴσων βάσεων τῶν ΒΓ ΕΖ καὶ ἐν ταῖς αὐ-
ταῖς παραλλήλοις ταῖς ΒΖ ΑΔ· λέγω ὅτι ἴσον ἐστὶ τὸ
ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· ἐκβεβλήσθω
ἀπὸ λα΄ γὰρ ἡ ΑΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η Θ· καὶ διὰ
μὲν τοῦ Β τῇ ΓΑ παράλληλος ἤχθω ἡ ΒΗ· διὰ δὲ τοῦ Ζ
τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΖΘ· παραλληλόγραμ-
μον ἄρα ἐστὶν ἑκάτερον τῶν ΗΒΓΑ ΔΕΖΘ· καὶ ἴσον τὸ
ΗΒΓΑ τῷ ΔΕΖΘ· ἐπί τε γὰρ ἴσων βάσεων εἰσὶ τῶν
ΒΓ ΕΖ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ ΗΘ· καὶ
ἐστι τοῦ μὲν ΗΒΓΑ πα-
ραλληλογράμμου ἥ-
μισυ τὸ ΑΒΓ τρίγω-
νον· ἡ γὰρ ΑΒ διά-
μετρος αὐτὸ δίχα
τέμνει· τοῦ δὲ ΔΕΖΘ
παραλληλογράμμου



ἥμισυ τὸ ΖΕΔ τρίγωνον· ἡ γὰρ ΖΔ διάμετρος αὐτὸ δίχα
τέμνει· τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄ-
ρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· τὰ ἄρα
τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς
παραλλήλοις· ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι :-

λθ΄
Τὰ ἴσα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα, καὶ ἐν
ταῖς αὐταῖς παραλλήλοις ἐστίν· ἔστω ἴσα τρίγωνα τὰ
ΑΒΓ ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ· λέγω ὅ-
τι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν· ἐπεζεύχθω γὰρ
ἀπὸ λα΄ ἡ ΑΔ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΓ· εἰ γὰρ μή,
ἤχθω διὰ τοῦ Α σημείου τῇ ΒΓ εὐθείᾳ παράλληλος ἡ ΑΕ
ἀπὸ λζ΄ καὶ ἐπεζεύχθω ἡ ΕΓ· ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ
ΕΒΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐ-
τῷ τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις· ἀλλὰ τὸ ΑΒΓ
τῷ ΔΒΓ ἐστὶν ἴσον· καὶ τὸ ΔΒΓ ἄρα τῷ ΕΒΓ ἴσον ἐστὶ [illegible]
τὸ μεῖζον τῷ ἐλάσσονι· ὅ-
περ ἐστὶν ἀδύνατον· οὐκ ἄ-
ρα παράλληλός ἐστιν ἡ ΑΕ
τῇ ΒΓ· ὁμοίως δὴ δείξο-
μεν ὅτι οὐδ' ἄλλη τις πλὴν
τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΓ
ἐστὶ παράλληλος· τὰ ἄρα
ἴσα τρίγωνα τὰ ἐπὶ τῆς



αὐτῆς βάσεως ὄντα. καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν
ὅπερ ἔδει δεῖξαι :-

μ΄
Τὰ ἴσα τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα. καὶ ἐπὶ

BIBLIOTHECA BODLEIANA